καὶ Ἀριστοφάνης. Ἦν δὲ καὶ πόλις, ἣν μνημονεύει Δημοσθένης ἐν ε φιλιππικῶν. Ἔστι δέ τι καὶ ζῶον
χερσαῖον, καὶ θαλάσσιον ὄστρεον. [Ἐχῖνος, καδίσκος τίς ἐστι χαλκοῦ, εἰς ὃν αἵ τε μαρτυρίαι καὶ αἱ
ο τι ς. προσκλήσεις ἔγγραφοι ἐνεβάλλοντο ὑπὸ τῶν δικαζομένων· καὶ κατεσημαίνοντο ἵνα μηδεὶς
κακουργήσῃ περὶ τὰ ἐμβαλλόμενα] Ἐχῖνος τὸν τόκον ἀναβάλλεσθαι λέγεται ἐφ' ὧν τὸ ἀναβάλλεσθαι
πρὸς χάρονος γίνεται· καὶ οἱ χερσαῖοι ἐχῖνοι κεντούμενοι δοκοῦσιν ἀνέχειν τὸν τόκον· εἶθ' ὕστερον
ὑπὸ τραχυτέρων τῶν ἐμβρύων κάκιον ἀπαλλάττειν ἐν τῷ τόκῳ. Ἐχῖνοι, οἱ μὲν χαλκοῖ,
δεσ. σωδ. καθιᾶσιν. οἱ δὲ ἐκ κεράμου, εἰς οὓς καθιᾶσιν οἱ διαιτηταὶ τὰ γράμματα τῶν μαρτυριῶν ἅτινες ἐμαρ-
τύρησαν· καὶ κατασημηνάμενοι μετὰ ταῦτα, ἃ ἐγκληθείη ἡ δίαιτα, τοῖς δικασταῖς ἐπεδίδουν. Τὸ
Ἐχόμενος, ἐγγύς. ἢ κατέχων. Ἔχοντες, οἰκοῦντες. Ἐχυρῶς, ἰσχυρῶς· ἢ ἀσφαλῶς. Ἐχύρωσεν, τὸ
ἰσχυροποίησεν. [Ἑψεῖν, βάπτειν τὰς τρίχας] Ἕψεται, ἀκολουθήσει· ἢ ἀκολουθεῖ. [Ἐψιμυθιῶσθαι,
ο τι ς. τὸ προστετρῖφθαι τὸ πρόσωπον τρίμματι λευκῷ. Ἑψητοί, πληθυντικῶς, τὰ ἰχθύδια· ὡς ἀφύαι
παραδίδει καὶ μεμβράδες. Εὔπολις. ἀξίου· καὶ τῆς λαμπάδος ἕνεισι δ' ἑψητοί τινες] Ἑψιάσθαι, παίζειν. Ἐψίθυρα
τσ μαγείας τ. Δ. τροφαὶ δίδοσθαι χόνδρου καὶ τὰ ἑψητά. Αἰσχύλος ἐν τροφοῖς. βιοτὴν αὔξιμον. Ἱππῶναξ.] Ἐψυχα-
γώγησεν, ἐπήλθε, παρεμυθήσατο. ἢ ψυχὰς διὰ μαγγανείας τῶν τελευτησάντων ἀνήγαγεν.
καὶ ἀραιῶς ἑωθ. [Ἑωθινὰς δίκας, τὰς κρινούσας ἐντὸς ν δραχμῶν] Ἑωθώς, χωρὶς τοῦ ε. Ἄρχιππος καὶ Θουκυδίδης
ἡ ἑωθηνὰς. Ἐῴκει, ὁμοία ἦν [Ἑώην, λέγουσι τὴν ἀφείην. Ἕωθεν, τὸ ὄρθρου οὕτως
τ. χθιζὸν τ. Δ. λέγουσι] Ἑωλοκρασία, τὸ χθιζὸν βρῶμα κυρίως. Ἑωλοκρασίαν, Δημοσθένης. Αἴτιος δὲ τὸ
καταβκεδάσας. ἔθος ἑωλοκρασίαν τινὰ μὲν τῆς πονηρίας αὐτοῦ κατεσκέδασαν. Ἑωλοκρασία, ἔθος ἦν τοῖς
Ἁρποκρ. νέοις, δειπνοῦσι καὶ νυκτερεύουσι καταχεῖν τῶν κοιμωμένων τῶν ἑώλων λοιπῶν τοὺς
ζωμοὺς πρὸς τὴν τοιαύτην παιδιὰν κεκραμένους. Ἐγὼ δὲ μᾶλλον νομίζω πεποιῆσθαι τὸ
ὄνομα ὑπὸ τοῦ ῥήτορος ἀπὸ τῶν ἑώλων, ἅ ἐστιν ἀρχαῖα· ὅτι πράγματα ἀρχαῖα συγ-
κεράσας κατηγορεῖ ὁ Αἰσχίνης. Ἕωλον, ἐχθεσινόν· ψυχρόν· μάταιον· ἀνωφελές· ἀπόψυχον.
[Ἕωλον, τὸ μὴ πρόσφατον· ἀεὶ δασέως τὴν πρώτην συλλαβήν· καὶ γὰρ διὰ τοῦ θεοῦ συνα-
Αἱ Αἱ. λείφεται] Ἐωνημένοι, ἀγοράσαντες· ἢ ἠγορασμένοι. Ἑώρα, ὕψωσις ἢ μετάρσις. Ἑωρηθήτω,
κρεμασθήτω. [Ἑώρακε, τὸ πρῶτον πρόσωπον, ὡς ἐπεπόνθει, καὶ ἐπεποιήκει καὶ ᾔδει τὸ
Αἱ ᾔδειν. Πλάτων τοῖς τοιούτοις χρῆται σχηματισμοῖς] Ἑώρησις, κρέμασις. Ἑωροκοπίαι, ὑψηλο-
φροσύναις. [Ἑώρων, οἱ Ἀττικοὶ λέγουσι· τὸ δὲ ἀνάλογον ὥρων. Τὰ γὰρ ἀπὸ τοῦ ο τὸ
ε τι ς. ἀρχόμενα ῥήματα κατὰ τὸν ἐνεστῶτα χρόνον ἐπὶ τοῦ παρεληλυθότος ἢ ἀπὸ τοῦ ο πάλιν
ἄρχεται· ἢ ἀπὸ τοῦ ω. Λέγουσι δὲ ὅμως καὶ ὥρων ἄνευ τοῦ ε οἱ νεώτεροι. Θουκυδίδης
δὲ μόνος ἑώρων] Ἕως, ἡ πρὸ τῆς τοῦ ἡλίου ἀνατολῆς ὥρα. [Ἕως, οὐχὶ ἠὼς τὸ Ἀττικόν
ε τι ς. ἐστι· Ξενοφῶν δὲ ἠὼς λέγει ποιητικῶς κατακόρως ἐν Κύρου παιδείᾳ· ἣν πρὸς ἠῶ· ἤγουν
πρὸς ἑσπέραν. Ἑώνυχον, ἡμερονύκτιον. Ἕωσε καὶ ἐώσατο λέγουσι, τὸ ἀνέτρεψε καὶ ἀνέκλεισε
τὴν θύραν] Ἑωσφόρος, ἀνατολικὸς ἀστήρ, πρωϊνός, καλούμενος φωσφόρος. [Ἕνδεκα ἄνδρες
ὑπὲρ τετταράκοντα ἔτη γεγονότες κλήρῳ τὴν ἀρχὴν ταύτην ἐλάμβανον· ἐπεμελοῦντο δὲ
τῶν ἐν δεσμωτηρίῳ] κλέπτας δὲ καὶ λωποδύτας καὶ ἀνδραποδιστάς, εἰ μὲν ἐπ' αὐτοφώρῳ
λάβοιεν, ἐκόλαζον θανάτῳ· εἰ δὲ ἀντιλέγοιεν, εἰς κρίσιν καθίστων.

Τέλος σὺν Θεῷ τοῦ ε στοιχείου.

Ἀρχὴ σὺν Θεῷ, Ζ.

ο τι ς.

Ζαβρόν, πολυφάγον. [Ζάγρα, λοιδορίας εἶδος· οὕτως Τιμόστρατος] Ζαγρεύς, ὁ
Διόνυσος παρὰ ποιηταῖς. Δοκεῖ γὰρ ὁ Ζεὺς μιγῆναι τῇ Περσεφόνῃ, ἐξ ἧς χθόνιος ὁ
Διόνυσος. [Ζάκρα, ἐπιβόλιον τὸ κατὰ τῶν ὤμων φερόμενον] Ζαΐ, μέγα· πολύ· λαμπρόν·
η ς. ἢ ἰσχυρόν. Ζαῆν, ἄνεμον τὸν σφοδρῶς πνέοντα. Ζάκορος, νεωκόρος. Μένανδρος. Δὶς τὸ
κτι ς. ἐξαπατῶν με οὐ Μεγάβυζος ἦν, ὅστις γένοιτο ζάκορος οὐδὲ καλῶς. ἢ ὁ ἱερεὺς ὁ τὸν ναὸν
σαρῶν· κορεῖν γὰρ τὸ σαίρειν παρὰ Ἀττικοῖς. Ζάκοτον, ἄγαν ὀργίλον· κότος γὰρ ἡ ὀργή.
Πλάτων Ζάλη, μεγάλη ἄελλα, ἀπὸ τοῦ σφόδρα ἀλίζεσθαι. καὶ ζάπλουτος, ὁ σφόδρα πλούσιος. Ἡ πολ-
λάκις· οἷον ἐν χειμῶνι ὑπὸ κονιορτοῦ καὶ ζάλης ὑπὸ πνεύματος φερομένου ὑπὸ τειχίον ἀπο-
στάς· καὶ ἐν Τιμαίῳ. εἴτε ζάλη πνεύματος ὑπὸ ἀέρος φερομένη καταληφθείη, συστρο-
φὴν γὰρ καὶ σεισμὸν βούλεται δηλοῦν. Τίνες, ἄνεμος λάβρος· πνεῦμα θορυβῶδες· Κλήμης.
καὶ ς. δύναται ζάλη τὸ εἶναι μεγάλη συστροφὴ ἀνέμου. Τίνες ζάλην τὴν χάλαζαν. Ζαμβύκη,
μουσικὸν ὄργανον. Ζάμολξις, Πυθαγόρου δουλεύσας ............ ὡς Ἡρόδοτος, ὃν
οἱ Σκύθαι, οἱ ἐπανελθὼν ἐδίδασκε περὶ τοῦ ἀθάνατον εἶναι τὴν ψυχήν. Μνασέας δὲ
παρὰ Γέταις τὸν Χρόνον ... τιμᾶσθαι, καὶ καλεῖσθαι Ζάμολξιν. Ἑλλάνικος δὲ ἐν τοῖς τοῖς κατὰ
βαρβαρικοῖς νομίμοις φησίν· ὅτι Ἑλληνικὸς τις γενόμενος τελετὰς κατέδειξε Γέταις τοῖς νομ.
ἐν Θρᾴκῃ, καὶ ἔλεγεν, ὅτι οὔτ' ἂν αὐτὸς ἀποθάνοι, οὔθ' οἱ μετ' αὐτοῦ· ἀλλ' ἕξουσι τὰ
πάντα ἀγαθά· ἅμα δὲ ταῦτα λέγων, ᾠκοδόμει οἴκημα κατάγειον· ἔπειτα ἀφανισθεὶς ἐκ τῶν
ἀφνίδιον ἐκ Θρᾳκῶν ἐν τούτῳ διητᾶτο· οἱ δὲ Γέται ἐπόθουν αὐτόν. Τετάρτῳ δὲ ἔτει
πάλιν φαίνεται, καὶ οἱ Θρᾷκες αὐτῷ πάντα ἐπίστευσαν. Λέγουσι δέ τινες, ὡς ὁ Ζάμολξις
ἐδούλευσε Πυθαγόρᾳ Μνησάρχου Σαμίῳ· καὶ ἐλευθερωθεὶς ταῦτα ἐσοφίζετο. Ἀλλὰ πολὺ
πρότερος μοι δοκεῖ ὁ Ζάμολξις Πυθαγόρου γενέσθαι. Ἀθανατίζουσι δὲ Τερσίζοι καὶ
Κροβύζοι· καὶ τοὺς ἀποθανόντας ὡς Ζάμολξιν φασὶν οἴχεσθαι· ἥξειν δὲ αὖθις· καὶ ταῦτα ἀεὶ
νομίζουσιν ἀληθεύειν· θύουσι δὲ καὶ εὐωχοῦνται, ὡς αὖθις ἥξοντος τοῦ ἀποθανόντος [Ζάπλουτος ὁ π.

http://digital.slub-dresden.de/ppn346246385/13